UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

II. De Synodo Chalcedonensi, & quam ob causam congregata sit.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

κεκλημένοις ἀσφαλῆ παρέχειν τὸν πλοῦτον. A
φοβερὸς οὐκ ἐν τῷ τιμωρεῖσθαι, ἀλλ' ἐν τῷ τιμωρήσεσθαι· δι' ἃ καὶ τὴν ἀρχὴν ἆθλον ἀρετῆς οὐ κληρονομίαν ἔσχε, τῆς τε γερουσίας τῶν τε ἄλλων τῶν πᾶσαν πληρούντων τύχην, ἁπάσαις ψήφοις τὴν βασιλείαν αὐτῷ παρασχομένων γνώμῃ πουλχερίας· ἣν καὶ ἐσωκίσατο μὲν ὡς βασιλίδα. οὐ μὴν ἔγνω, ἀειπαιδος ἐκείνης μέχρι γήρως μεινάσης· γέγονε δὲ ταῦτα, οὔπω μὲν οὐαλεντινιανοῦ τοῦ τῆς ῥώμης αὐτοκράτορος τὴν ψῆφον ἐπικυρώσαντος, ὅμως δ' οὖν διὰ τὴν ἀρετὴν ἐπιψηφισαμένου. ἤθελε δὲ μαρκιανὸς καὶ τῷ θεῷ κοινὸν παρὰ πάντων B σέβας προσάγεσθαι, τῶν διὰ τὴν ἀσέβειαν συγχυθεισῶν γλωσσῶν αὖθις εὐσεβῶς ἑνουμένων, καὶ διὰ μιᾶς καὶ τῆς αὐτῆς δοξολογίας τὸ θεῖον γεραίρεσθαι.

A opes ſuas præſtare. Formidabilis, non tam propterea quod puniret, quā quod metuebatur, ne puniturus eſſet. Itaque imperium, non quidem hereditario iure, ſed præmium virtutis adeptus eſt: cum Senatus & omnes omnium Ordinum viri, communi conſenſu hunc ei honorem detuliſſent, ſuaſu Pulcheriæ. Quam ille, utpote Auguſtam, uxorem quidem duxit: nunquam tamen cum ea rem habuit, quippe quæ in perpetua virginitate ad obitum usqve permanſerit. Atque hæc geſta ſunt, antequam Valentinianus qui Romæ imperabat, electionem illam ſuo ſuffragio comprobaſſet. B Quam tamen ille ob virtutem Marciani, poſtea confirmavit. Porro Marciano id maxime in votis erat, ut unus idemque cultus ab omnibus exhiberetur Deo, linguis quæ per impietatem confuſæ fuerant, rurſus pie unitis: utque divinum numen unâ eademque glorificatione laudaretur.

Κεφ. β'.

Περὶ τῆς ἐν καλχηδόνι συνόδου, καὶ πόθεν τὴν αἰτίαν τῆς συνελεύσεως ἔσχεν.

ΠΡοσίασι τοίνυν αὐτῷ ταῦτα βουλομένῳ, οἵ τε λέοντος τοῦ τῆς πρεσβυτέρας ῥώμης ἐπισκόπου διακονούμενοι ταῖς ἀποκρίσεσι, C φάσκοντες διόσκορον ἀνὰ τὸ δεύτερον ἐν ἐφέσῳ συνέδριον, μὴ δέξασθαι τὸν λέοντος τόμον ὀρθοδοξίας ὅρον τυγχάνοντα. οἵ τε παρ' αὐτοῦ διοσκόρου καθυβρισθέντες, τὰ κατὰ σφᾶς ἱκετεύοντες συνοδικῶς κριθῆναι. παρ' ὧν τε δὲ μάλιστα εὐσέβιος ὁ τοῦ δορυλαίου γεγονὼς πρόεδρος, φάσκων ἐπιβουλεύμασι χρυσαφίου τοῦ θεοδοσίου ὑπασπιστοῦ, αὐτόν τε καὶ φλαβιανὸν καθαιρεθῆναι, διότι χρυσίον τῷ χρυσαφίῳ ζητοῦντι, ὁ φλαβιανὸς ἐπὶ τῇ οἰκείᾳ χειροτονίᾳ, πρὸς ἐντροπὴν ἱερὰ πέπομφε D σκεύη, καὶ ὅτι παραπλήσιος τὴν κακοδοξίαν εὐτυχεῖ καθειστήκει ὁ χρυσάφιος. ἔλεγε δὲ τὸν φλαβιανὸν καὶ δειλαίως ἀναιρεθῆναι, πρὸς διοσκόρου ὠθούμενόν τε καὶ λακτιζόμενον. ἐξ ὧν ἡ ἐν καλχηδόνι σύνοδος ἀλίζεται, ἀγγελιῶν τε, καὶ ἀγγελιαφόρων πεμφθέντων, καὶ τῶν ἑκασταχοῦ ἱερέων εὐσεβέσι γράμμασι κληθέντων, πρῶτα μὲν ἐν νικαίᾳ· ὡς καὶ τὸν ῥώμης πρόεδρον λέοντα τοῖς ἐν νικαίᾳ συνελθοῦσιν ἐπιγράψαι, πρὸς αὐτοὺς ἐπιστέλλοντα, περὶ ὧν ἐς τὸν οἰκεῖον πεπόμφει τόπον, πασχασιανοῦ καὶ λουκενσίου καὶ

Cap. II.

De Synodo Chalcedonenſi & quamob cauſam congregata ſit.

CUm hæc in votis haberet, accedunt ad illum, tum reſponſales Leonis Romanæ urbis Epiſcopi, affir- C mantes Dioſcorum in ſecundo Epheſino Concilio ſuſcepiſſe Epiſtolam Leonis, quæ doctrinam veræ fidei continebat. Tum ii, quos idem Dioſcorus injuria affecerat, ſupplicantes ut ipſorum causâ in Epiſcopali Concilio judicaretur. Sed præ cæteris urgebat Euſebius, Epiſcopus quondam Dorylæi, aſſerens ſe ac Flavianum inſidiis Chryſaphii protectoris Theodoſii depoſitos eſſe, eò quod Flavianus Chryſaphio aurum pro ordinatione ipſius poſtulanti, ad pudorem ei D incutiendum ſacra vaſa miſiſſet: Et quod Chryſaphius in doctrina fidei cum Eutyche conſentiret. Ajebat præterea Flavianum à Dioſcoro pulſum & calcibus appetitum, miſerabili modo interfectum eſſe. His de cauſis Synodus Chalcedone congregata eſt, cum nuntii ac tabellarii miſſi fuiſſent; & ſingularum urbium Epiſcopi litteris piiſſimi Imperatoris acciti eſſent, primum quidem Nicæam: adeo ut Romanus Epiſcopus Leo cum ad eos ſcriberet de Legatis, quos ad Concilium miſerat, Paſchaſino ſcilicet, Lucenſio ac reliquis, litteras ſuas inſcriberet ad

Epiſcopos, qui Niceæ convenerant; Poſtea vero Chalcedonem. Et Zacharias quidem Rhetor Neſtorio favens, ab exſilio eum ad Concilium evocatum eſſe dicit. Sed rem aliter ſe habere ex eo liquet, quod Neſtorius in illa Synodo paſſim anathemate damnatus eſt. Idem etiam diſerte teſtatur Euſtathius Epiſcopus Beryti, in literis, quas ad Joannem Epiſcopum & ad alterum Joannem presbyterum de rebus in Synodo geſtis ſcripſit his verbis. Occurrentes denuo ii, qui Neſtorii reliquias poſtulabant, contra Synodum vociferati ſunt: qua de cauſa viri ſancti anathemate damnantur? Adeo ut Imperator indignatione commotus, protectoribus ſuis mandaverit, ut eos procul expellerent. Quomodo igitur Neſtorius evocatus ſit, qui jampridem è vivis exceſſerat, equidem non video.

A λοιπῶν. ὕστερον δὲ ἐν καλχηδόνι τῆς βιθυνῶν χώρας· καὶ ζαχαρίας μὲν ἐμπαθῶς ὁ ῥήτωρ καὶ νεστόριον ἐκ τῆς ὑπερορίας μετάπεμπτον γενέσθαι φησί· τὸ δέ γε μὴ ταῦθ' οὕτως ἔχειν, τεκμηριοῖ τὸ πανταχοῦ τῆς συνόδου τὸν νεστόριον ἀναθεματίζεσθαι. δηλοῖ δὲ εὖ μάλα καὶ εὐστάθιος ὁ τῆς βηρυτίων ἐπίσκοπος, γράφων πρὸς ἰωάννην ἐπίσκοπον, καὶ πρὸς ἰωάννην ἕτερον πρεσβύτερον, περὶ τῶν ἐν τῇ συνόδῳ κινηθέντων, ἐπὶ λέξεως ὧδε. ὑπαντήσαντες δὲ πάλιν οἱ ζητοῦντες νεστορίου τὰ λείψανα, τῆς συνόδου καταβοῶντες, B οἱ ἅγιοι διατί, ἀναθεματίζονται. ὡς ἀγανακτήσαντα τὸν βασιλέα τοῖς δορυφόροις ἐπιτρέψαι, μακρὰν αὐτοὺς ἀπελάσαι. πῶς οὖν νεστόριος μετεκαλεῖτο, τῶν ἐντεῦθεν μεταστάς, οὐκ ἔχω λέγειν.

Cap. III.

Deſcriptio templi magnæ Martyris Euphemiæ in urbe Chalcedonenſi: & miraculorum, quæ illic fiunt, narratio.

Congregantur itaque in Baſilica Euphemiæ Martyris, Chalcedone, quæ urbs eſt provinciæ Bithyniæ. Diſtat autem hæc Baſilica à Boſporo duobus circiter ſtadiis, ſita in loco quodam amœno & molliter acclivi: adeo ut qui in Martyris templum aſcendunt, nullum ambulationis laborem ſentiant, ſed repente ſublimes appareant, intra ipſam Baſilicam conſiſtentes. Ex qua, tanquam è ſpecula, oculos demittentes, ſubjectos campos cernunt in planitiem porrectos, viridi gramine veſtitos, ac ſegetibus veluti fluctuantes, atq; omni arborum genere exornatos: montes præterea ſilvoſos, ſenſim ſeſe attollentes atque incurvantes. Diverſa denique maria: hæc quidem ſerenitate renidentia, & littoribus ſuaviter ac placide alludentia: ubi ſcilicet tranquilla ſunt loca, abſque ventis ac tempeſtatibus. Alia verò æſtuantia & fluctibus infrementia, cochleas, algam, & ex teſtaceis leviſſimos quosque piſciculos reciproco æſtu deferentia ac denuo retrahentia. Porro templum ipſum ſitum eſt è regione Conſtantinopoleos: adeo ut tantæ urbis aſpectu templum non mediocriter venuſtetur. Conſtat autem ex tribus ampliſſimis ædibus. Prima eſt ſub dio, longo atrio & columnis undique exornata.

Κεφ. γ'.

Ἔκφρασις τοῦ εὐκτηρίου οἴκου τῆς μεγαλομάρτυρος εὐφημίας, τοῦ ἐν καλχηδόνι· καὶ διήγησις τῶν γινομένων ἐν αὐτῷ θαυμάτων.

C Ἀλίζονται τοίνυν ἀνὰ τὸ ἱερὸν τέμενος εὐφημίας τῆς μάρτυρος· ὅπερ ἵδρυται μὲν ἐπὶ τῆς καλχηδονέων τοῦ βιθυνῶν ἔθνους, ἀπῴκισται δὲ τοῦ βοσπόρου σταδίοις οὐ πλείοσι δύο, ἔν τινι τῶν εὐφυῶν χωρίων ἠρέμα προσάντους· ὡς τε τοὺς περιπάτους ἀνεπαισθήτους εἶναι τοῖς εἰς τὸν νεὼν ἀπιοῦσι τῆς μάρτυρος, ἐξαπίνης τε μετεώρους εἶναι εἴσω τῶν ἀνακτόρων γινομένους. ὥστε τὰς ὄψεις ἐκχέοντας ἐκ περιωπῆς, ἅπαντα θεωρεῖν ὑπεστρωμένα πεδία, ὁμαλῆ καὶ ὕπτια τῇ πόᾳ χλοάζοντα, ληΐοις τε κυμαινόμενα, καὶ παντοδαπῶν δένδρων τῇ θέᾳ ὡραϊζόμενα. ὄρη D τε λάσια ἐς ὕψος εὐπρεπῶς μετεωριζόμενά τε καὶ κυρτούμενα· ἀτὰρ καὶ πελάγη διάφορα· τὰ μὲν τῇ γαλήνῃ πορφυρούμενα, καὶ ταῖς ἀκταῖς προσπαίζοντα ἡδύ τε καὶ ἥμερον, ἔνθα νήνεμα τὰ χωρία καθεστᾶσι· τὰ δὲ παφλάζοντά τε καὶ τοῖς κύμασιν ἀγριαίνοντα, κάχληκάς τε καὶ φυκία καὶ τῶν ὀστρακοδέρμων τὰ κουφότερα μετὰ τῆς ἀντανακλάσεως τῶν κυμάτων αὐτῆς ἀνασειράζοντα· ἀντικρὺ δὲ τῆς κωνσταντίνου τὸ τέμενος· ὥστε καὶ τῇ θέᾳ τῆς τοσαύτης πόλεως, τὸν νεὼν ὡραΐζεσθαι. τρεῖς δὲ ὑπερμεγέθεις οἶκοι τὸ τέμενος· εἷς μὲν ὑπαίθριος, ἐπιμήκει τῇ αὐλῇ καὶ κίοσι πάντοθεν κοσμούμενος.